# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΥΣ ΤΕΣΣΑΡΑΣ ΑΓΙΟΥΣ ΝΕΟΥΣ ΟΣΙΟΜΑΡΤΥΡΑΣ

# **ΕΥΘΥΜΙΟΝ, ΙΓΝΑΤΙΟΝ, ΑΚΑΚΙΟΝ ΚΑΙ ΟΝΟΥΦΡΙΟΝ.**

*Μετά τό: «Εὐλογητός....» τό: «Κύριε εἰσάκουσον...» καί τό: «Θεός Κύριος...». Εἶτα τά παρόντα τροπάρια:*

**Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.**

Οὐ σιωπήσωμέν ποτε ἀθλοφόροι, τοῦ ἀνυμνεῖν καί μεγαλύνειν ἀξίως, τά τῶν ἀγώνων τρόπαια πανεύφημοι, ἔνδοξε Εὐθύμιε καί Ἰγνάτιε μάκαρ, σύν τῷ Ἀκακίῳ τε, καί στερρῷ Ὀνουφρίῳ, μή οὖν ἐλλίπητε πρεσβεύειν τῷ Θεῷ, ὑπέρ ὧν προσδοκῶμεν ἰάσεων.

**Δόξα.... Ὅμοιον.**

Οἱ τῇ πρεσβείᾳ πρός Θεόν ἐλπικότες, καί ἐν τῇ σκέπῃ τῇ ὑμῶν προσφυγόντες, ὡς τοῦ Χριστοῦ ὁπλῖται συνυπάρχετε, ἴασιν δωρήσατε, ψυχικῶν ἀλγηδόνων, κινδύνων τε καί θλίψεων, τῶν τοῦ βίου σκανδάλων, καί μή ἀφῆτε δέησιν οἰκτράν, τῶν προσιόντων ὑμῖν μετά πίστεως.

**Καί νῦν... Ὅμοιον.**

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ, σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Εἶτα τόν Ν΄ Ψαλμόν. Καί εὐθύς ἀρχόμεθα τοῦ κανόνος τῶν Ἁγίων.*

**Ὠδή α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

**Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.**

Τριάς ἁγία καί μονάς ὑπέρθεε, ἡ φωτουργοῦσα πηγή, ἐξ ἧς πᾶσα δόσις, ἀγαθή κατέρχεται, φώτισον τήν καρδίαν μου, τοῦ ἀξίως ὑμνῆσαι, τούς ὑπέρ σοῦ ἐναθλήσαντας, μάρτυρας τούς νέους γηθόμενος.

Τῷ Εὐθυμίῳ προσκομίζω ἔπαινον, ὡς προεξάρχοντι νῦν, τῶν ἑτέρων δύο, οὗτος γάρ ἐγένετο, ὑπόδειγμα στερρότατον, τῷ στερρῷ Ἰγνατίῳ, καί Ἀκακίῳ τοῖς μάρτυσι, καί Χριστόν τόν Θεόν ἀνεκήρυξαν.

Σύν Εὐθυμίῳ τῷ πιστῷ θεράποντι, τοῦ Ἰησοῦ μου Χριστοῦ, καί σύν Ἰγνατίῳ, ἅμα Ἀκακίῳ τε, Ὀνούφριον αἰνέσωμεν, τόν στερρόν ἀριστέα, καί πρεσβευτήν προβαλώμεθα, σύν τοῖς ἀνωτέρω πρός Κύριον.

**Δόξα...**

Χαῖρε πατέρων κορωνίς Ὀνούφριε, καί τῶν ὁσίων κρηπίς, ἀθλητῶν τό κλέος, χαῖρε ἐγκαλλώπισμα, τῶν διακόνων ἔνδοξε, χαῖρε τῆς σωφροσύνης, τό περιβόητον ἄγαλμα, χαῖρε τῶν ἀγγέλων ἐφάμιλλε.

**Καί νῦν.... Θεοτοκίον.**

Νῦν πεποιθώς ἐπί τήν σήν κατέφυγον, ἀντίληψιν κραταιάν, καί πρός τήν σήν σκέπην, ὁλοψύχως ἔδραμον, καί γόνυ κλίνω Δέσποινα, καί θρηνῶ καί στενάζω, μή μέ παρίδης τόν ἄθλιον τῶν χριστιανῶν καταφύγιον.

**Ὠδή γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

Ὁ στερεώσας οὐρανούς, καί γῆν ὁ θεμελιώσας, ἐστερέωσεν ὑμᾶς ἀθλοφόροι, καί κηρῦξαι τόν Χριστόν, Θεόν

ὁμοῦ καί ἄνθρωπον, ἐνώπιον τυράννων, ὡς καί τούς πρώην ἐνίσχυσεν.

Ὥσπερ ὁ Πέτρος ἀρνηθείς, πικρῶς ἐθρήνησε πάλαι, καί ὑμεῖς οὕτω πικρῶς κατ' ἐκεῖνον, ἐθρηνήσατ' ὡς εἰκός, καί τόν Χριστόν τό δεύτερον, πεπαρρησιασμένως, αὖθις θερμῶς ἐκηρύξατε.

Ταῖς Ὀνουφρίου σου λιταῖς, καί τῶν τριῶν ἀθλοφόρων, μή παρίδης τάς δεήσεις οἰκτίρμον, τῶν αἰνούντων μετ' αἰδοῦς καί μεμνημένων πάντοτε, τά ἐξ αὐτῶν πρακτέα, ὑπέρ τοῦ σοῦ Χριστέ μου ὀνόματος.

**Δόξα....**

Ὁ θεοφόρος τάς ἀρχάς, τοῦ σκότους καί ἐξουσίας, θριαμβεύσας ἐγκρατείᾳ συντόνῳ, τροπαιοῦχος νικητής, Ὀνούφριος ἐγένετο, τῶν ἀθλητῶν ἡ δόξα, καί μοναζόντων τό καύχημα.

**Καί νῦν.... Θεοτοκίον.**

Νενεκρωμένον μου τόν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ κόσμῳ, ἐξανάστησον Ἁγνή, καί πρός ζωήν ὁδήγησον, ἡ τοῦ θανάτου πύλας, λύσασα μόνη τῷ τόκῳ σου.

Ἐκ θλίψεως καί ἐκ κινδύνων λυτρώσατε ἀθλοφόροι, τούς τήν θείαν μνήμην ὑμῶν θερμῶς ἑορτάζοντας, ὡς ἔχοντες παρρησίαν μεγίστην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

**Κάθισμα, ἦχος δ΄. Πρεσβεία θερμή.**

Πρεσβεύειν θερμῶς, μή παύσητε πρός Κύριον, ἡμῶν γάρ ἀεί ἐστέ τό καταφύγιον, ἐκτενῶς βοῶμεν ὑμῖν ὁσιομάρτυρες, Κυρίου προφθάσατε, καί ἐκ κινδύνων σώσατε ἡμᾶς, οἱ ἐν τάχει ἀσμένως προστατεύοντες.

**Ὠδή δ΄. Σύ μου ἰσχύς Κύριε.**

Ὄντως ὑμεῖς μάρτυρες, θεῖοι γεγόνατε, ὥσπερ πάλαι, οἱ γενναῖοι μάρτυρες, καί γάρ Χριστόν ἀληθῆ Θεόν, κατ' ἐκείνους οὕτως ἀνεκηρύξατε ἔνδοξοι, ἐνώπιον ἀθέων, ὠμωτάτων τυράννων, καί τά γέρα τῆς νίκης ἐλάβετε.

Ὥσπερ ποτέ ὁ Παῦλος σπεύσας κατέλαβε, τήν μεγίστην Ῥώμην τεθνηξόμενος, οὕτως ὑμεῖς μάρτυρες Χριστοῦ, τήν μεγίστην Ῥώμην, τήν νέαν νῦν κατελάβετε, ἐν ᾗ κατά τόν Παῦλον, τό μακάριον τέλος, ἐπληρώσατε ὄντως μακάριοι.

Σύ μου ἰσχύς Κύριε, σύ μου καί δύναμις, οἱ γενναῖοι ὁ καθείς ἀνέκραζε, ἐν ᾧ καιρῷ ἔμελλόν ποτε, εἰς τό παραστῆναι Ὀθωμανοῖς πρός ἐξέτασιν, Εὐθύμιος ὁ πρῶτος, σύν Ἰγνατίῳ Ἀκακίῳ, καί Ὀνουφρίῳ τῷ θεόφρονι.

**Δόξα....**

Ὅλος Θεῷ, καθιερώθης Ὀνούφριε, μόνος μόνῳ, πάνσοφε ἑνούμενος, δι' ἀρετῆς καί καθομιλῶν, καί θεο-

φανείας, ὡς καθαρός ἀξιούμενος, τῆς γῆς καί τῶν γηΐνων, ἀποστάς γάρ ἀξίως, τήν οὐράνιον εὗρες ἀπόλαυσιν.

**Καί νῦν.... Θεοτοκίον.**

Σέ τήν ἁγνήν, σέ τήν Παρθένον καί ἄσπιλον, μόνην φέρω, τεῖχος ἀπροσμάχητον, καταφυγήν σκέπην κραταιάν, ὅπλον σωτηρίας, μή μέ παρίδης τόν ἄσωτον, ἐλπίς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρά καί ἀντίληψις.

**Ὠδή ε΄. Ἵνα τί μέ ἀπώσω.**

Ὥσπερ σκύβαλα πάντα, τά φθαρτά κατά Παῦλον ὄντως ἡγήσασθε, καί ψυχήν καί σῶμα, τοῖς βασάνοις στερρῶς παρεδώκατε, ἵνα Χριστόν μόνον, ὦ τοῦ Κυρίου ἀθλοφόροι, καί ὑμεῖς κατ᾽ ἐκεῖνον κερδήσητε.

Ἵνα τί ἐρωτᾶς με πόθεν ἥκω, καί τίς μέ ἀπέστειλεν; ὁ Χριστός μου πάντως, ὁ Θεός μου καί πλάστης ὦ δείλαιε, ὅθεν σφάζε κόπτε, τῷ ἐρωτῶντι ἐπεβόα, ἡ τετράς τῶν μαρτύρων στερρότατα.

Ὁ στερρός ἐν ἀθλήσει, καί πολύς ἐν ἀσκήσει θεῖος Εὐθύμιος, νῦν μεγαλυνέσθω, μετά ἑτέρων τε, οἵτινες προθύμως, διά καλῆς ὁμολογίας, τό μακάριον τέλος ἐδέξαντο.

**Δόξα...**

Παρρησίαν ὡς ἔχων, τῷ σωτῆρι Θεῷ καθικέτευε, ὅπως ἐγκλημάτων τήν συγχώρησιν πᾶσι δωρήσηται, τοῖς ἐπιτελοῦσι χαρμονικῶς σου τήν φωσφόρον, καί πανέορτον μνήμην Ὀνούφριε.

**Καί νῦν..... Θεοτοκίον.**

Ἀπό πάσης ἀνάγκης, θλίψεως καί νόσου, καί βλάβης με λύτρωσαι, καί τῇ σῇ δυνάμει, ἐν τῇ σκέπῃ σου φύλαξον ἄτρωτον, ἐκ παντός κινδύνου, καί ἐξ ἐχθρῶν τῶν πολεμούντων, καί μισούντων με Κόρη πανύμνητε.

**Ὠδή ς΄. Ἱλάσθητί μοι Σωτήρ.**

Χριστόν τό πρότερον μέν, ἀπατηθέντες ἠρνήσασθε, νῦν δέ λαμπρᾷ τῇ φωνῇ, τοῦτον ἐκηρύξατε, ἐναντίον αὖθις τε, τῶν ἐθνῶν ἀξίως, καί Θεόν ὁμοῦ καί ἄνθρωπον.

Ἐδέξασθε ἀληθῶς, στεφάνους νίκης ἀοίδιμοι, παρά Χριστοῦ τοῦ Θεοῦ, ὑπέρ οὗ ἠθλήσατε, τά γάρ ὑμῶν λείψανα, ὡς εὐώδη ρόδα, νῦν τερπνῶς εὐωδιάζουσι.

Αὐτόκλητοι ἀθληταί, εἰσήλθετε πρός τό στάδιον, ποιοῦντες ἀνταλλαγήν, δι' ὧν ἐκπεπτώκατε, Εὐθύμιε ἔνδοξε, σύν τῷ Ἰγνατίῳ Ἀκακίῳ Ὀνουφρίῳ τε.

**Δόξα....**

Μακάριος ἀληθῶς, ἐγένου μάρτυς Ὀνούφριε, πτωχείαν πλουτοποιόν καί πένθος χαρμόσυνον, κτησάμενος ὅσιε, δι' ὧν βασιλείαν, οὐρανῶν ἐκληρονόμησας.

**Καί νῦν.... Θεοτοκίον.**

Κυρίαν σέ τοῦ παντός, καί Δέσποιναν ὀνομάζομεν, τόν ὄντως ὄντα Θεόν, ἀρρήτως γάρ τέτοκας, τόν πάντα ποιήσαντα, καί διακρατοῦντα, καί συνέχοντα Πανάμωμε.

Ἐκ θλίψεως καί ἐκ κινδύνων λυτρώσατε ἀθλοφόροι, τούς τήν θείαν μνήμην ὑμῶν θερμῶς ἑορτάζοντας, ὡς ἔχοντες παρρησίαν μεγίστην.

Ἄχραντε ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

**Κοντάκιον ἦχος β΄. Προστασία τῶν χριστιανῶν.**

Προστᾶται οἱ τῶν μοναστῶν ἀκαταίσχυντοι, καί μεσῖται πρός τόν Ποιητήν ἀμετάθετοι, μή παρίδητε ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλά προφθάσατε εἰς τήν βοήθειαν ἡμῶν, τῶν πιστῶς ἐκβοώντων ὑμῖν, ταχύνατε εἰς πρεσβείαν, καί σπεύσατε εἰς ἱκεσίαν, εἰς τήν βοήθειαν ἡμῶν, ὅτι δύνασθε βουλόμενοι.

*Καί εὐθύς τό Προκείμενον: Θαυμαστός ὁ Θεός ἐν τοῖς ἁγίοις αὐτοῦ. Τό Εὐαγγέλιον.*

**Δόξα... Ταῖς τῶν ἀθλοφόρων....**

**Καί νῦν... Ταῖς τῆς Θεοτόκου....**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Ὁσίων συμμέτοχοι, καί τῶν μαρτύρων ὡσαύτως, ἐστέ ἀξιάγαστοι, διό ἀγαλλόμενοι, ὑμῖν ἐκβοῶμεν, χαῖρε οὖν ἅγιε, ἀθλητά ἔνδοξε, ποδηγέτα τε καί ἔξαρχε, σοφέ Εὐθύμιε, ἅμα Ἰγνατίῳ τῷ σώφρονι, χαῖρε κλεινέ Ἀκάκιε, καί τῆς ἀκακίας ἐπώνυμε, σύν τῷ Ὀνουφρίῳ, τῷ ὄντι τελευταίῳ ἀθλητῇ, διό ὑμᾶς πρός τόν Κύριον πρέσβεις προβαλλόμεθα.

**Ὠδή ζ΄. Θεοῦ συγκατάβασιν.**

Τό αἷμα ἐκχέαντες, οἷά περ ἄρνες ὑπέρ Χριστοῦ ἀληθῶς, καί μακρά δέ πελάγη, διελθόντες ἄταφοι πανοίδιμοι, θείᾳ δυνάμει ἐμείνατε ἄφθαρτοι, εὐλογητός ὁ Θεός ὁ ἐνισχύσας ὑμᾶς.

Μαρτύρων σκηνώματα, ὡς κατοικοῦντες ὁσιομάρτυρες νῦν, τόν Χριστόν δυσωπεῖτε, ὑπέρ ἡμῶν τῶν τιμώντων τά λείψανα ὑμῶν ἀεί καί ψαλλόντων πρός Κύριον, εὐλογητός ὁ Θεός ὁ τῶν πατέρων ἡμῶν.

Σαρκί μέν νεάζοντες, ταῖς δέ φρεσί πολιούς ὑπερέβησαν, διά τοῦτο ὁσίως, ἐν τῷ τοῦ Ἄθω ἀσκητικῶς τῷ Θεῷ, ἐξιλεοῦντες χορείας ἐπέτυχον, τῶν ἀθλητῶν καί λοιπῶν ἐν τῇ μελλούσῃ ζωῇ.

**Δόξα....**

Ἀσκήσεως στάδιον, ἁγιωσύνης πάτερ γυμνάσιον, τόν σόν ἔδειξας βίον, δι' ἐγκρατείας ἄκρας ἑνούμενος, τοῖς ἀσωμάτοις κραυγάζων Ὀνούφριε, εὐλογητός ὁ Θεός ὁ τῶν πατέρων ἡμῶν.

**Καί νῦν... Θεοτόκιον.**

Ὡς ὄρθρος ἀνέτειλας, δικαιοσύνης ἥλιον ἔχουσα, τόν ἐκ σκότους τόν κόσμον, τῆς ἀγνωσίας ἀνακαθαίροντα, θεογνωσίας ἀκτῖσιν, ᾧ ψάλλομεν, εὐλογητός ὁ Θεός ὁ τῶν πατέρων ἡμῶν.

**Ὠδή η΄. Ἑπταπλασίως κάμινον.**

Δαυϊτικῶς ὡς φοίνικες, ἐξηνθήσατε ἅγιοι, καί ὥσπερ οἱ κέδροι οὕτως ἐπληθύνθητε, ἐν ὄρει τῷ τοῦ Ἄθω, λαβόντες σχῆμα ἀγγελικόν, ἐξ ἑνός πατρός ὁσιωτάτου ἀνέρος, παρ'

οὗ κατηχηθέντες, ὁδόν τοῦ μαρτυρίου, ἐδράμετε ὁσίως, Χριστῷ τελειωθέντες.

Τριάς μαρτύρων σήμερον, ἡμᾶς πάντας συνήθροισε, τούτων τήν ἁγίαν ἑορτάσαι ἄθλησιν, δεῦτε οὖν φιλέορτοι, ἐν τῷ πανσέπτῳ τούτων ναῷ, τοῖς μαρτυρικοῖς καί ἱεροῖς τε λειψάνοις, προσπέσωμεν ἀντλοῦντες, αὐτῶν τήν εὐωδίαν, Χριστόν ὑπερυψοῦντες εἰς πάντας τούς αἰῶνας.

Ἑπταπλασίως κάμινος, τῶν ὁσίων ἐγένετο, ἔνδον τῇ καρδίᾳ, πῦρ τό θεοδώρητον, δι' οὗ φωτιζόμενοι, πρός μαρτυρίου λείαν ὁδόν, ἔσπευδον καλῶς πρός τό ποθούμενον φθάσαι, Εὐθύμιος ὁ θεῖος, σύν τῇ λοιπῇ αὐτοῦ τριάδι, οἵ καί τέλος ἐδέξαντο ἅγιον.

**Δόξα...**

Ἐν προσευχαῖς τό ἄγρυπνον, ἐν νηστείαις τό εὔτονον, τό καρτερικόν ἐν πειρασμοῖς Ὀνούφριε, νοός καθαρότητι, ἐπί τῆς γῆς ὡς ἄγγελος, πεπολιτευμένος, τῷ Θεῷ ἀνεβόας, οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

**Καί νῦν... Θεοτοκίον.**

Νύμφη Θεοῦ πανάμωμε, τούς πρός σέ καταφεύγοντας, τῆς αἰχμαλωσίας τῶν παθῶν ἐξάρπασον, καί τήν αὐτοδέσποτον, ἐλευθερίαν Δέσποινα, ταῖς τῶν Ὀρθοδόξων, ἐκκλησίαις παράσχου, ταῖς πίστει μελωδούσαις, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε, Χριστόν εἰς τούς αἰῶνας.

## Ὠδή θ΄. Ἐξέστη ἐπί τοῦτο.

Εὐφραίνου καί ἀγάλλου σκήτη σεπτή, τοῦ Προδρόμου ἡ τρεῖς εὐμοιρήσασα, νῦν ἀθλητάς, καί ὁσιομάρτυρας τοῦ Χριστοῦ, Εὐθύμιον Ἰγνάτιον, σύν τῷ Ἀκακίῳ τούς σούς υἱούς, διό αὐτῶν τήν μνήμην, γεραίροντες ὑμνοῦμεν, Θεόν τόν τούτους ἐνισχύσαντα.

Τόν δρόμον μαρτυρίου ὡς ἀληθῶς, τελειώσαντες ἅγιοι μάρτυρες, ὑπέρ ἡμῶν, τῶν συνασκητῶν τε καί ἀδελφῶν, πρός Κύριον πρεσβεύσατε, ὅπως ἐν ἡμέρᾳ τῇ φοβερᾷ, τῆς τούτου παρουσίας, τύχωμεν τῆς μερίδος, τῶν σωζομένων ἀγαλλόμενοι.

Εὐφραίνεσθε ἐν δόξῃ, ὦ ἀθληταί, σύν ἀγγέλων χορείαις ἱστάμενοι, τῷ φοβερῷ, θρόνῳ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ, αὐτόν ἐκδυσωπήσατε, δοῦναι ἡμῖν ἄφεσιν τῶν δεινῶν, Εὐθύμιε γενναῖε, σύν τοῖς τρισίν ὁσιοάθλοις, αἱ νεόφυτοι ὄντως κυπάρισσοι.

### Δόξα....

Ἰσάγγελον βιώσας ἐπί τῆς γῆς, τήν ἰσάγγελον εὗρες φαιδρότητα, τῆς γάρ αὐτῶν, θεοειδεστάτης μαρμαρυγῆς, ἐν μετουσίᾳ γέγονας, οἷς καί συναγάλλῃ διηνεκῶς, ὡς ἔνθεος προφήτης, καί μάρτυς στεφηφόρος, καί μοναζόντων ἀκροθίνιον.

### Καί νῦν.... Θεοτοκίον.

Τήν δέησίν μου δέξαι τήν πενιχράν, καί κλαυθμόν μή παρίδῃς καί δάκρυα καί στεναγμόν, ἀλλ᾽ ἀντιλαβοῦ μου ὡς ἀγαθή, καί τάς αἰτήσεις πλήρωσον, δύνασαι γάρ πάντα ὡς πανσθενοῦς, Δεσπότου Θεοῦ Μήτηρ, εἰ νεύσεις ἔτι μόνον, πρός τήν ἐμήν οἰκτράν ταπείνωσιν.

*Καί εὐθύς τό: «Ἄξιόν ἐστιν...» καί τά Μεγαλυνάρια.*

**Τήν ὑψηλοτέραν...**

Ὕψωσον παλάμας σου πρός Θεόν, ὑπέρ τῆς σῆς ποίμνης, ὦ μαρτύρων ἡ καλλονή, Εὐθύμιε μάκαρ, καί παράσχου τήν λύσιν, πολλῶν ἀμπλακημάτων, ψυχῆς καί σώματος.

Ἔχοντες ναόν σου τόν ἱερόν, Ἰγνάτιε μάρτυς, ὡς προπύργιον νοητόν, προσφεύγομεν τούτῳ, ἐν καιρῷ τῶν κινδύνων, καί ἐπηρείας πάσης ἀπολυτρούμεθα.

Φύλαττε τούς δούλους σου ἀθλητά, τούς ἀθροιζομένους, ἐν τῷ οἴκῳ σου τῷ σεπτῷ, καί μετ' εὐλαβείας, καί πόθου σέ τιμῶσι, Ἀκάκιε τρισμάκαρ, ἀξιοθαύμαστε.

Αἴτησαι εἰρήνην παρά Θεοῦ, ὁμόνοιαν σκέπην, μέχρι τέλους ὑπομονήν, ψυχῆς σωτηρίαν, ἡμῖν τοῖς σοῖς ἱκέταις, εἰς δόξαν τοῦ Κυρίου, μάρτυς Ὀνούφριε.

Μάρτυρες Κυρίου καί ἀθληταί, Εὐθύμιε μάκαρ, καί Ἰγνάτιε θαυμαστέ, Ἀκάκιε θεῖε, Ὀνούφριε τρισμάκαρ, φρουρεῖτε ποίμνην ταύτην, ὡς ἀντιλήπτορες.

*Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί... καί τά λοιπά.*

**Τοῦ ἀσπασμοῦ.**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Μέγιστον Εὐθύμιον πιστοί, ὕμνοις εὐφημήσωμεν πάντες, ὡς προεξάρχοντα, σύν τῷ Ἰγνατίῳ τε, καί Ἀκακίῳ ὁμοῦ, καί ἑτέρῳ θεόφρονι, αὐτοῖς ὁπαδόν τε, ἔνδοξον Ὀνούφριον ἐγκωμιάσωμεν, οὗτοι γάρ ἀεί σύν ἀγγέλοις, ὕμνους τῇ Τριάδι βοῶσι, καί ὑπέρ ἡμῶν αὐτῇ πρεσβεύουσι.